σπουδάζοντας. ἐρᾶν δὲ φάσκουσαν γυναῖκα φυγεῖν τις ἂν ἔχοι καὶ βδελυχθείη, μήτι γε λάβοι γάμου ποιησάμενος ἀρχὴν τὴν τοιαύτην ἀκρασίαν.’

**9.** Παυσαμένου δὲ τοῦ Πρωτογένους, ‘ὁρᾷς’ εἶπεν ὁ πατήρ, ‘ὦ Ἀνθεμίων, ὅτι πάλιν κοινὴν ποιοῦσι τὴν ὑπόθεσιν καὶ τὸν λόγον ἀναγκαῖον ἡμῖν τοῖς οὐκ ἀρνουμένοις C οὐδὲ φεύγουσι τοῦ περὶ γάμον Ἔρωτος εἶναι χορευταῖς;’ [καὶ] ‘ναὶ μὰ Δί’’ εἶπεν ὁ Ἀνθεμίων· † ‘ἀμύνει διὰ πλειόνων νῦν αὐτοὺς ἐρᾶν· εἰ † δὲ τῷ πλούτῳ βοηθήσων, ᾧ μάλιστα δεδίττεται Πεισίας ἡμᾶς.’ ‘τί δ’’ εἶπεν ὁ πατήρ ‘οὐκ ἂν ἔγκλημα γένοιτο γυναικός, εἰ δι’ ἔρωτα καὶ πλοῦτον ἀπορρίψομεν Ἰσμηνοδώραν; ‘βαρεῖα γὰρ καὶ πλουσία·’ τί δ’ εἰ καλὴ καὶ νέα; τί δ’ εἰ γένει σοβαρὰ καὶ ἔνδοξος; αἱ δὲ σώφρονες οὐ τὸ αὐστηρὸν καὶ κατεγρυπωμένον ἐπαχθὲς .... καὶ δυσκαρτέρητον ἔχουσι, καὶ ποινὰς καλοῦσιν αὐτὰς καὶ τοῖς ἀνδράσιν ὀργιζομένας, ὅτι σω- D φρονοῦσιν; ἆρ’ οὖν κράτιστον ἐξ ἀγορᾶς γαμεῖν Ἀβρότονόν τινα Θρῇσσαν ἢ Βακχίδα Μιλησίαν ⟨ἀν⟩έγγυον ἐπαγομένην δι’ ὠνῆς καὶ καταχυσμάτων; ἀλλὰ καὶ ταύταις ἴσμεν οὐκ ὀλίγους αἴσχιστα δουλεύσαντας. αὐλητρίδες δὲ